κεν, ἡσυχῇ πως φιλοσοφοῦντες ἐν ταῖς παλαίστραις καὶ
διὰ τῶν θεάτρων ἀλλήλοις συνῆσαν· ἔπειτα φεύγοντες
ἀργαλέον ἀγῶνα κιθαρῳδῶν, ἐντεύξεσι καὶ σπουδαῖς
προειλημμένον, ἀνέζευξαν οἱ πλείους ὥσπερ ἐκ πολεμίας
εἰς τὸν Ἑλικῶνα καὶ κατηυλίσαντο παρὰ ταῖς Μούσαις.
ἕωθεν οὖν ἀφίκετο πρὸς αὐτοὺς Ἀνθεμίων, καὶ Πεισίας,
ἄνδρες ἔνδοξοι, Βάκχωνι δὲ τῷ καλῷ λεγομένῳ προσή-
κοντες καὶ τρόπον τινὰ δι' εὔνοιαν ἀμφότεροι τὴν ἐκείνου
D διαφερόμενοι πρὸς ἀλλήλους. ἦν γὰρ ἐν Θεσπιαῖς Ἰσμη-
νοδώρα γυνὴ πλούτῳ καὶ γένει λαμπρὰ καὶ νὴ Δία τὸν
ἄλλον εὔτακτος βίον· ἐχήρευσε γὰρ οὐκ ὀλίγον χρόνον
ἄνευ ψόγου, καίπερ οὖσα νέα καὶ ἱκανὴ τὸ εἶδος. τῷ δὲ
Βάκχωνι φίλης ὄντι καὶ συνήθους γυναικὸς υἱῷ πράτ-
τουσα γάμον κόρης κατὰ γένος προσηκούσης ἐκ τοῦ συμ-
παρεῖναι καὶ διαλέγεσθαι πολλάκις ἔπαθε πρὸς τὸ μει-
ράκιον αὐτή· καὶ λόγους φιλανθρώπους ἀκούουσα καὶ λέ-
γουσα περὶ αὐτοῦ καὶ πλῆθος ὁρῶσα γενναίων ἐραστῶν
εἰς τὸ ἐρᾶν προήχθη καὶ διενοεῖτο μηθὲν ποιεῖν ἀγεννές,
E ἀλλὰ γημαμένη φανερῶς συγκαταζῆν τῷ Βάκχωνι. πα-
ραδόξου δὲ τοῦ πράγματος αὐτοῦ φανέντος, ἥ τε μήτηρ
ὑφεωρᾶτο τὸ βάρος τοῦ οἴκου καὶ τὸν ὄγκον ὡς οὐ κατὰ
τὸν ἐραστήν, τινὲς δὲ καὶ συγκυνηγοὶ τῷ μὴ καθ' ἡλι-
κίαν τῆς Ἰσμηνοδώρας δεδιττόμενοι τὸν Βάκχωνα καὶ
σκώπτοντες ἐργωδέστεροι τῶν ἀπὸ σπουδῆς ἐνισταμένων
ἦσαν ἀνταγωνισταὶ πρὸς τὸν γάμον, ᾐδεῖτο γὰρ ἔφηβος
ἔτι ὢν χήρᾳ συνοικεῖν. οὐ μὴν ἀλλὰ τοὺς ἄλλους ἐάσας παρ-
εχώρησε τῷ Πεισίᾳ καὶ τῷ Ἀνθεμίωνι βουλεύσασθαι τὸ
συμφέρον, ὧν ὁ μὲν ἀνεψιὸς ἦν αὐτοῦ πρεσβύτερος, ὁ δὲ
F Πεισίας αὐστηρότατος τῶν ἐραστῶν· διὸ καὶ πρὸς τὸν γάμον